# Teognis

(Fragmentos de la siloge))

Σοὶ δ'ἐγὼ εὖ φρονέων ὑποθήσομαι,οἷά περ αὐτός,

Κύρν,ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ'ἐὼν ἔμαθον.

πέπνυσο,μηδ'αἰσχροῖσιν ἐπ'ἔργμασι μηδ'ἀδίκοισιν

τιμὰς μηδ'ἀρετὰς ἕλκεο μηδ'ἄφενος.

Ταῦτα μὲν οὕτως ἴσθι·κακοῖσι δὲ μὴ προσομίλει

ἀνδράσιν,ἀλλ'αἰεὶ τῶν ἀγαθῶν ἔχεσ·

καὶ παρὰ τοῖσιν πῖνε καὶ ἔσθιε,καὶ μετὰ τοῖσιν

ἷζε,καὶ ἅνδανε τοῖς,ὧν μεγάλη δύναμις.

ἐσθλῶν μὲν γὰρ ἄπ'ἐσθλὰ μαθήσεαι·ἢν δὲ κακοῖσιν

συμμίσγῃς,ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε,καί ποτε φήσεις

εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε,κύει πόλις ἥδε,δέδοικα δὲ μὴ τέκῃ ἄνδρα

εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.

ἀστοὶ μὲν γὰρ ἔθ'οἵδε σαόφρονες,ἡγεμόνες δὲ

τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.